Εἴ κ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε, μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.
1178a ʽτολμᾶν χρὴ χαλεποῖσιν ἐν ἄλγεσιν ἦτορ ἔχοντα,
b πρὸς δὲ θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.ʼ

1179 Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.
δημοφάγον δὲ τύραννον ὅπως ἐθέλεις κατακλῖναι
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ', ὧι μὴ μῶμος ἐπικρέμαται.
1184a ʽἄστων δ' οὐ δύναμαι γνῶναι νόον ὅντιν' ἔχουσιν·
b οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.ʼ

Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπηι,
θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγηι.

Οὐκ ἔραμαι κλισμῶι βασιληίωι ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.